ΟΙ. *πῶς οὖν τόθ' οὗτος ὁ σοφὸς οὐκ ηὔδα τάδε;*
ΚΡ. *οὐκ οἶδ'· ἐφ' οἷς γὰρ μὴ φρονῶ σιγᾶν φιλῶ.*
ΟΙ. *τοσόνδε γ' οἶσθα καὶ λέγοις ἂν εὖ φρονῶν.*
ΚΡ. *ποῖον τόδ'; εἰ γὰρ οἶδά γ' οὐκ ἀρνήσομαι.*
ΟΙ. *ὁθούνεκ', εἰ μὴ σοὶ ξυνῆλθε, τάσδ' ἐμὰς*
*οὐκ ἄν ποτ' εἶπε Λαΐου διαφθοράς.*
ΚΡ. *εἰ μὲν λέγει τάδ' αὐτὸς οἶσθ', ἐγὼ δὲ σοῦ*
*μαθεῖν δικαιῶ ταὖθ' ἅπερ κἀμοῦ σὺ νῦν.*
ΟΙ. *ἐκμάνθαν'· οὐ γὰρ δὴ φονεὺς ἁλώσομαι.*
ΚΡ. *τί δῆτ'; ἀδελφὴν τὴν ἐμὴν γήμας ἔχεις;*
ΟΙ. *ἄρνησις οὐκ ἔνεστιν ὧν ἀνιστορεῖς.*
ΚΡ. *ἄρχεις δ' ἐκείνῃ τῆσδε γῆς ἴσον νέμων;*
ΟΙ. *ὅσ' ἂν θέλῃ πάντ' ἐξ ἐμοῦ κομίζεται.*
ΚΡ. *οὔκουν ἰσοῦμαι σφῷν ἐγὼ δυοῖν τρίτος;*
ΟΙ. *ἐνταῦθα γὰρ δὴ καὶ κακὸς φαίνει φίλος.*
ΚΡ. *οὔκ, εἰ διδοίης γ' ὡς ἐγὼ σαυτῷ λόγον.*
*σκέψαι δὲ τοῦτο πρῶτον, εἴ τιν' ἂν δοκεῖς*
*ἄρχειν ἑλέσθαι ξὺν φόβοισι μᾶλλον ἢ*

stus.) *κοὐκ ἐφήναμεν* Herw. Qu. *κοὐκ ἐξηύρομεν*, aut *κοὐδὲν ηὕρομεν*, aut potius *κοὐδὲν ἦν πλέον*, coll. Ant. 268. *ὅτ' οὐδὲν ἦν ἐρευνῶσιν πλέον.* 569. *ἐφ' οἷς*] Fort. *ὅπου.*

570. *τὸ σὸν δέ γ'* L. et Dind. *τοσόνδε γ'* (cum gl. *τοσοῦτον*) B. Pors. Elmsl. Jebb. al. *τόσον δέ γ'* injuria Wunder. et al. Qu. *τοσόνδε δ'.*

571. *εἰ γὰρ οἶδά γ'* mss. *εἰ γὰρ οἶδ' ἐγὼ* conj. Bergk. Fortasse recte.

572. *τὰς ἐμὰς* —] *τάσδ' ἐμὰς* — Doederl. Dind. Herw. Cf. ad 852. 533.

574. *οἶσθ'* mss. *οἶδ'* Fr., coll. Aelian. V. H. II. 13. *καὶ ὑπὲρ μὲν τούτων αὐτὸς οἶδεν.* 575. *ταῦθ'* mss. *ταὔθ'* Br.

576. *φονεὺς* mss. Qu. *φονεύς γ'.* Cf. El. 1022. Ph. 246. Ant. 659. Sed Ant. 46. *οὐ γὰρ δὴ προδοῦσ' ἁλώσομαι.*

579. *ταὐτὰ γῆς ἴσον νέμων* mss. *τοῦ κράτους ἴσον νέμων* Heimsoeth. Qu. *τῆσδε* (aut *ταὐτὰ*) *γῆς κράτη νέμων*, aut *γῆς ἴσον μέρος νέμων.*

580. *θέλουσα*] *θελούσῃ* Hart. Herw. Fr. Scripserat, ni fallor, *ὅσ' ἂν θέλῃ πάντ' ἐξ ἐμοῦ κομίζεται.* Cf. 590. *νῦν μὲν γὰρ ἐκ σοῦ πάντ' ἄνευ φόβου φέρω.* Corruptelam, ni fallor, peperit praepositionis *ἐξ* omissio ante simile *ἐμ* —, *ὅσ'* autem excidit propter vicinum *Οἰ.*